Βιέννης αὐτοκρατορικῇ βιβλιοθήκῃ τῇ ἐπιγραφῇ „Μακαρίου μητροπολίτου Ἀγκύρας πόνημα, τὸ μὲν καθόλου κατὰ τῆς τῶν Λατίνων κακοδοξίας, περὶ δέ που τὰ τέλη καὶ κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου καὶ τῶν κατ' αὐτοὺς ἀθέων, ὅπερ καὶ διακέκριται εἰς κεφάλαια ἑκατὸν εἴκοσιν". Ἐξεδόθη δ' ἀνωνύμως ἐν τῇ ἀρχῇ τοῦ Τόμου τῆς Καταλλαγῆς ὑπὸ τοῦ Πατριάρχου τῶν Ἱεροσολύμων Δοσιθέου, ὃς ἐν τῇ ἱστορίᾳ περὶ τῶν ἐν Ἱεροσολ. πατριαρχ. σελ. 954 ἐσημειώσατο, ὅτι τὸ ἐν τῇ ἀρχῇ τοῦ Τόμου τῆς Καταλλαγῆς ἀνωνύμως ἐκδοθὲν πόνημα ἀνήκει τῷ Ἀγκύρας Μακαρίῳ. Τὴν τοῦ πονήματος συγγραφὴν ἤρξατο ὁ Μακάριος τῷ 1404 ἐν Παρισίοις, ἐν οἷς μετὰ τοῦ βασιλέως Ἐμμανουὴλ διέτριβε, καὶ ἐπεράτωσεν αὐτὸ ἐν Κωνσταντινουπόλει, ὡς ὁ αὐτὸς λέγει ἐν τῷ 106 κεφαλαίῳ.

Συμεὼν ἀρχιεπίσκοπος Θεσσαλονίκης. Οὗτος ὁ γενναῖος ὑπέρμαχος τῆς ὀρθοδοξίας ἀρχιεπίσκοπος διεδέξατο τὸν Γαβριὴλ μετὰ τὸ ἔτος 1410 καὶ ἐτελεύτησεν ἓξ μῆνας πρὸ τῆς ὑπὸ τῶν Τούρκων ἁλώσεως τῆς Θεσσαλονίκης, συμβάσης ἐν ἔτει 1429. Τὰ ἅπαντα τοῦ Συμεὼν ἐξέδωκεν ὁ Πατριάρχης τῶν Ἱεροσολύμων Δοσίθεος ἐν Ἰασίῳ τῷ 1683 ἔτει. Ἐν τοῖς πολλοῖς κεφαλαίοις, ἐν οἷς διαιρεῖται τὸ κατὰ πασῶν τῶν αἱρέσεων σύγγραμμα τοῦ Συμεών, ὑπάρχουσι καὶ τὰ ἑξῆς. 1) τὸ ιθ' Κατὰ Λατίνων. 2) τὸ κ' περὶ ὧν καινοτομοῦσι Λατῖνοι. 3) τὸ λβ' Κατὰ Λατίνων, ὅτι ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα. 4) τὸ ξδ' Ὅτι τὸ βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ, τοῦ βαπτίζω ἐγὼ τὸν δοῦλον τοῦ Θεοῦ διαφέρει. 5) τὸ ξθ' Κατὰ Λατίνων, ὅτι οὐ δεῖ ἀφιστᾶν τὰ βρέφη τῆς κοινωνίας. 6) τὸ πη' Ὅτι οὐκ ὀρθῶς ποιοῦσι Λατῖνοι ἄζυμά τε καὶ κυκλοειδῆ ταῦτα προσφέροντες. 7) τὸ πθ' Κατὰ Λατίνων ἄζυμα προσφερόντων. 8) τὸ σιγ' Κατὰ Λατίνων,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ